79 гг.) текстологически совпадает с описанием патриарха Никифора, но в числе лет их правления имеется некоторое различие. Например:

| Хроника № 2 | Хронографикон патриарха Никифора |
|---|---|
| Τῷ γ' ἔτει ταύτης [Κλεοπάτρος] πρῶτος ἐμονάρχησε ἐννόμως Γάϊος Ἰούλιος Καῖσαρ, ἀφ' οὗ καίσαρες οἱ ἑξῆς βασιλεῖς ἤρξαντο καλεισθ(ῆναι). Προσίγγινος οὗτος ἐβασίλευσε Ῥώμης ἔτη δ'. | Τῷ τρίτῳ ἔτει ταύτης [Κλεοπάτρος] πρῶτος ἐμονάρχησε Ῥωμαίων Γάϊος Ἰούλιος Καῖσαρ, ἀφ' οὗ καίσαρες οἱ ἑξῆς βασιλεῖς προσηγορεύθησαν. Οὗτος ἐβασίλευσεν ἔτη δ' μῆνας ζ'. |
| Ὁ Αὔγουστος ἔτη νζ'. Τῷ ιε' ἔτει τῆς αὐτοῦ βασιλείας (Κλεοπάτραν ἑλὼν καθεῖλε) τὴν τῶν Πτολεμαίων ἀρχὴν οἱ ἐβασίλευσαν ἔτη σ. η'. | Ἀπὸ τούτου ἐβασίλευσε. Καῖσαρ Σεβαστὸς ὁ καὶ Αὔγουστος ἔτη νστ' καὶ μῆνας στ'. Οὗτος τῷ ιε' ἔτει τῆς αὐτοῦ βασιλείαῖς Κλεοπάτραν ἀνελὼν καθεῖλε τὴν τῶν Πτολεμαίων ἀρχήν. οἳ ἐβασίλευσαν ἔτη σϛε'. |
| Πάντα ἀπὸ Ἀδὰμ ἕως ἀρχῆς βασιλείας Αὐγούστου κατὰ τοὺς ἀκριβεῖς χρονογράφους ἔτη ,ευνζ'. | Γίνονται οὖν τὰ πάντα ἀπὸ Ἀδὰμ ἕως ἀρχῆς βασιλείας Αὐγούστου, κατὰ τοὺς ἀκριβεῖς χρονογράφους ἔτη ,ευνζ'... |
| Τῷ δὲ μγ' ἔτει τῆς αὐτοῦ βασιλείας ἐγεννήθη τὸ κατὰ σάρκα ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. | Τῷ δὲ μβ' ἔτει τῆς αὐτοῦ βασιλείας ἐγεννήθη τὸ κατὰ σάρκα ἐκ τῆς ἁγίας παρθένου [καὶ θεοτόκου] Μαρίας ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ πρὸ αἰώνων θεὸς [ἐν Βηθλεὲμ τῆς Ἰουδαίας πρὸ ὀκτὼ καλανδῶν Ἰαννουαρίων, ὅ ἐστι Χυὰκ κθ', τοῦτ' ἔστι Δεκεμβρίῳ κε'.] |
| Κυρῖνιος δὲ ἀπὸ τῆς συγκλήτου βουλῆς ἀποσταλεῖς εἰς τὴν Ἰουδαίαν ἀπογραφὰς ἐποιήσατο τῶν οὐσιῶν καὶ τῶν οἰκητόρων. (Γίνονται) οὖν ἀπὸ τοῦ Ἀδὰμ ἕως τῆς ἐνανθρωπήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔτη ,εφ' [66]. | Κυρίνιος δὲ ὑπὸ τῆς συγκλήτου βουλῆς ἀποσταλεῖς εἰς τὴν Ἰουδαίαν ἀπογραφὰς ἐποιήσατο τῶν οὐσιῶν καὶ τῶν οἰκητόρων. Γίνοντα ὁμοῦ τὰ πάντα ἀπὸ Ἀδὰμ ἕως τῆς ἐνανθρωπήσεως τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ [κατὰ πᾶσαν ἀκρίβειαν] ἔτη ,εφ' [67]. |
| Μετὰ Αὐγούστου ἐβασίλευσε Τιβέριος ἔτη κβ'. Τῷ ιε' ἔτει τῆς αὐτοῦ βασιλείας τῆς εὐαγγελικῆς διδασκαλίας ἄρχεται ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός. Τῷ ιθ' ἔτει ἐπάθε ὁ κύριος ἡμῶν ὑπὲρ ἡμῶν τὸ ἑκούσιον πάθος (σωτήριον) τοῦ κόσμου μηνὸς Μαρτίου κε'... | Μετα Αὐγούστου Ῥωμαίων τρίτος ἐβασίλευσε Τιβέριος ἔτη κγ'. Τῷ ιε' ἔτει τῆς αὐτοῦ βασιλείας τῆς [σωτηρίου καὶ] εὐαγγελικῆς διδασκαλίας ἄρχεταί ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός. Τῷ δὲ ιθ' ἔπαθεν ἐν Ἱερουσαλὴμ ὑπὲρ ἡμῶν τὸ σωτήριον πάθος Μαρτίῳ κε' [69]. |
| Ὁμοῦ ἀπὸ Ἀδὰμ ἕως τοῦ σωτηρίου πάθους καὶ ἁγίας αὐτοῦ ἀναλήψεως ἔτη ,εφλγ'. | |
| Οὐεσπασιανὸς ἔτη ι'. Ἐν ἔτει β' αὐτοῦ βασιλείας γέγονεν ἡ ἅλωσις τῆς Ἱερουσαλὴμ ὑπὸ τοῦ υἱοῦ αὐτοῦ μετὰ μ' ἔτη τῆς κυρίου ἀναλήψεως [68]. | Οὐεσπασιανὸς ἔτη ι' [ἀπεγένετο ἐν κήποις Σαλουστιανοῖς]. Ἐν ἔτει δευτέρῳ τῆς τούτου βασιλείας γέγονεν ἡ ἅλωσις Ἱερουσαλὴμ ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Τίτου μετὰ λστ' ἔτη τῆς ἀναλήψεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ [70]. |

[66] См. 406 $\left(\frac{264}{\mathrm{CCLI}}\right)$, л. 208 об.—209.
[67] Niceph., p. 91—92.
[68] См. 406 $\left(\frac{264}{\mathrm{CCLI}}\right)$, л. 209.
[69] Niceph., p. 92.
[70] Ibid., p. 93.